θρωπος. δυνάμει δ', ἀεὶ γελαστικός. ἔτι ὧν οἱ ὅροι διάφοροι, διάφορα καὶ ἄλλα. τοῦτο δ' ἁρμόζει καὶ τοῖς λοιποῖς τέχναις. καὶ γὰρ καὶ ἐπὶ τοῦ χρώματος καὶ τῶν λοιπῶν δυνάμεθα λέγειν, ὅτι ὧν οἱ ὅροι διάφοροι, καὶ ἄλλα διάφορα.

ΠΕΡΙ ΚΟΙΝΩΝΙΑΣ ΕΙΔΟΥΣ ΚΑΙ ΣΥΜΒΕΒΗΚΟΤΟΣ.

Εἴδους δ' καὶ συμβεβηκότος. Εἴδους καὶ συμβεβηκότος, ποιότητα μὲν μίαν λέγει, ἑτεροτήτας δ' πολλάς. λέγει οὖν καὶ τὴν ἀλήθειαν δι' ἣν μίαν μὲν ποιότητα φησί, τὰς δ' ἑτεροτήτας πολλάς. ἣν καὶ ἡμεῖς προτέρον εἴπομεν. ὅτι τὰ πολλοὶ διεστηκότα, πανταχοῦ μὲν ἔχουσι τὰς ποιότητας. πολλάς δ' τὰς ἑτεροτήτας. τοὐναντίον δὲ τὰ συνημμένα ἐπὶ πολύ, ὁ λιτὸς μὲν ἔχουσι τὰς ἑτεροτήτας, τὰς δ' ποιότητας πολλάς. ποιὸν τίθεμεν ἀμφοτέρων, τὸ ἐπὶ πολλῶν λέγεσθαι. καὶ γὰρ ὁ ἄνθρωπος καὶ σωκράτης καὶ ἀλκιβιάδου καὶ τῶν λοιπῶν κατηγορεῖται. καὶ τὸ μέλαν, κατά τε ἀιθίοπος καὶ κόρακος καὶ ἑτέρων πολλῶν.

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΑΥΤΩΝ.

Διαφορὰ δ' ἑκατέρου. Ἰδίον δ' τοῦ μὲν εἴδους, ἐν τῷ ἐπὶ πλείοσι κατηγορεῖσθαι. τοῦ δ' συμβεβηκότος, ἐν τῷ ὁποῖόν τι ἐπὶ πλείοσι, καὶ πῶς ἔχον. ὁ ποῖόν γὰρ ὁ ἀιθίοψ ὁρῶν τιθέντες, ὑμάνεται καὶ νοσεῖ λέγομεν. τὸ δ' εἶδος εἰ καὶ ἐν τῷ ὁποῖόν τι ἐπὶ πλείοσι λέγεται, ἀλλ' ἀπὸ τοῦ διαφορῶν τοῦτο μετέχει, καθὼς καὶ πρότερον εἴπομεν. ἔτι ἑκάστη μονοῦσα, ἑνὸς εἴδους μετέχει. συμβεβηκότα δ', πολλοῖσιν. οἷον, πυρετός. σιμότητος. μελανίας. ἔθνη τὸ μὲν εἶδος, πρότερον. τὸ δ' συμβεβηκός, ὕστερον. πρότερον γὰρ δεῖ εἶναι ἄνθρωπον, εἶτα μέλανα. καὶ τοῦ μὲν εἴδους ἡ μετοχὴ ἐπίστασις. ὁμοίως γὰρ ἄνθρωπος σωκράτης καὶ πλάτων. οὐχ ὁμοίως δ' μέλανες καὶ λευκοί. εὑρίσκεται γὰρ ἀιθίοψ ἑτέρου ἀιθίοπος μᾶλλον μέλας. Μέτεισιν οὖν τὰ κοινὰ καὶ ἴδια εἴδους καὶ συμβεβηκότος, καὶ κατὰ πάντα τὸν λόγον. φησὶν οὖν ὅτι τὸ ἴδιον τῶν διαφορῶν καὶ κοινωνεῖ τῷ εἴδει καὶ τῇ διαφορᾷ καὶ τῷ εἴδει εἰρήκαμεν, ἵνα καὶ κοινὰ πρὸς ἄλλο παρεβάλομεν. τῶν δ' κοινωνεῖ καὶ διαφορᾷ τὸ συμβεβηκότος, ἐκθήσεται. κοινὸν τίθεμεν τὸ ἴδιον καὶ τὸ ἀχώριστον συμβεβηκότι. ἑκάτερος δ' ἐστὶ τὸ ἀχώριστον. τούτων γὰρ διακριθέντων, ἐφαδίως κατανοήσομεν τὸ χωριστόν τε διακρίνεσθαι. ἄμφω τε χρεία οὐδεμία κοινωνία ἐστὶ τῷ ἰδίῳ καὶ τῷ χωριστῷ συμβεβηκότι. κοινὸν τίθεμεν ἰδίου καὶ ἀχωρίστου, τὸ μὴ ὑπάρχειν τὰ πράγματα ἐφ' ὧν θεωροῦνται ταῦτα ἄνευ ἐκείνων. ἄνευ γὰρ γελαστικοῦ, ἄνθρωπος οὐκέτι. καὶ ἄνευ τοῦ μέλανος, οὐκέτι κόραξ. καὶ ὡσαύτως ἀεὶ ὁ ἄνθρωπος γελαστικός, οὕτως ἀεὶ ὁ κόραξ μέλας. τὸ δ' χωριστόν, οὔτε ἀεὶ πρόσεστι τῷ εἴδει. οὐ γὰρ ἀεὶ κάθηται ὁ ἄνθρωπος. οὔτε ἀδύνατον χωρὶς ἐκείνου ὑπάρχειν ἄνθρωπον. δυνάμεθα γὰρ νοῆσαι τὸν σωκράτην μὴ καθήμενον. καθόλου οὖν τὸ ἴδιον καὶ τὸ ἀχώριστον κοινωνοῦσιν, οὐ κοινωνεῖ τὸ χωριστόν. καθὸ δ' διαφέροντι, μάλιστα διαφέρει κατὰ τοῦ ἰδίου.

Universitäts- und
Landesbibliothek Düsseldorf